ΔΑΝΑΟΣ

παῖδες, φρονεῖν χρή· ξὺν φρονοῦντι δ᾽ ἥκετε
πιστῷ γέροντι τῷδε ναυκλήρῳ πατρί.
καὶ τἀπὶ χέρσου νῦν προμηθίαν λαβεῖν
αἰνῶ φυλάξαι θ᾽ ἅμ᾽ ἔπη δελτουμένας.
ὁρῶ κόνιν, ἄναυδον ἄγγελον στρατοῦ·
σύριγγες οὐ σιγῶσιν ἀξονήλατοι·
ὄχλον δ᾽ ὑπασπιστῆρα καὶ δορυσσόον
λεύσσω, ξὺν ἵπποις καμπύλοις τ᾽ ὀχήμασιν·
τάχ᾽ ἂν πρὸς ἡμᾶς τῆσδε γῆς ἀρχηγέται
ὀπτῆρες εἶεν ἀγγέλων πεπυσμένοι.
ἀλλ᾽ εἴτ᾽ ἀπήμων εἴτε καὶ τεθηγμένος
ὠμῇ ξὺν ὀργῇ τόνδ᾽ ἐπόρνυται στόλον,
ἄμεινόν ἐστι παντὸς εἵνεκ᾽, ὦ κόραι,
πάγον προσίζειν τόνδ᾽ ἀγωνίων θεῶν.
κρεῖσσον δὲ πύργου βωμός, ἄρρηκτον σάκος.
ἀλλ᾽ ὡς τάχιστα βᾶτε, καὶ λευκοστεφεῖς
ἱκτηρίας, ἀγάλματ᾽ αἰδοίου Διός,
σεμνῶς ἔχουσαι διὰ χερῶν εὐωνύμων,
αἰδοῖα καὶ γοεδνὰ καὶ ζαχρεῖ᾽ ἔπη
ξένους ἀμείβεσθ᾽, ὡς ἐπήλυδας πρέπει,
τορῶς λέγουσαι τάσδ᾽ ἀναιμάκτους φυγάς.
φθογγῇ δ᾽ ἑπέσθω πρῶτα μὲν τὸ μὴ θρασύ,
τὸ μὴ μάταιον δ᾽ ἐκ †μετώπω σωφρόνων
ἴτω προσώπων ὄμματος παρ᾽ ἡσύχου.
καὶ μὴ πρόλεσχος μηδ᾽ ἐφολκὸς ἐν λόγῳ
γένῃ· τὸ τῇδε κάρτ᾽ ἐπίφθονον γένος.
μέμνησο δ᾽ εἴκειν· χρεῖος εἶ ξένη φυγάς.